[1]Θέων Θέωνι τῷ πατρὶ χαίρειν.

[2]Καλῶς ἐποίησες, οὐκ ἀπένηχές με μετ' ἐ-[3]σοῦ εἰς πόλιν. Ἢ οὐ θέλις ἀπενεκκεῖν με-[4]τ' ἐσοῦ εἰς Ἀλεξάνδριαν, οὐ μὴ γράψω σε ἐ-[5]πιστολήν, οὔτε λαλῶ σε, οὔτε υἱγένω σε [6]εἶτα. Ἂν δὲ ἔλθῃς εἰς Ἀλεξάνδριαν, οὐ [7]μὴ λάβω χεῖραν παρὰ [σ]οῦ, οὔτε πάλι χαίρω [8]σε λυπόν. Ἂμ μὴ θέλῃς ἀπενέκαι μ[ε], [9]ταῦτα γε[ί]νετε. Καὶ ἡ μήτηρ μου εἶπε Ἀρ-[10]χελάῳ, ὅτι «ἀναστατοῖ με· ἄρρον αὐτόν». [11]Καλῶς δὲ ἐποίησες, δῶρά μοι ἔπεμψε[ς] [12]μεγάλα, ἀράκια. Πεπλάνηκαν ἡμῶς ἐκε[ῖ] [13]τῇ ἡμέρᾳ ιβ', ὅτι ἔπλευσες. Λυπὸν πέμψον εἴ[ς] [14]με, παρακαλῶ σε. Ἂμ μὴ πέμψῃς, οὐ μὴ φά-[15]γω, οὐ μὴ πεινῶ. Ταῦτα.

[17]Τῦβι ιη'. [16]Ἐρ⟨ρ⟩ῶσθέ σε εὔχ(ομαι).

Pap. Oxy. 119 . 2ος - 3ος αι. μ.Χ.

[1]Σερῆνος Εἰσιδώρᾳ [τῇ ἀδελ-][2]φῇ καὶ κυρίᾳ πλαῖστ[α χαίρειν].

[3]Πρὸ μὲν παντὸς εὔχομ[αί σε ὑγιαί-][4]νει⟨ν⟩, καὶ καθ' ἑκάστης [ἡμέρα]ς κα[ὶ] [5]ὀψ⟨ί⟩ας τὸ προσκύνημά σου πυῶ [6]παρὰ τῇ σε φιλούσῃ Θοήρι. Γινόσκειν [7]σε θέλω, ἀφ' ὧς ἐκξῆλθες ἀπ' ἐμοῦ, [8]πένθος ἡγούμην νυκτὸς κλέων, [9]ἡμέρας δὲ πενθῶ⟨ν⟩. ιβ' Φαῶφι ἀφ' ὅτε [10]ἐλουσάμην μετ' ἐσοῦ, οὐκ ἐλουσάμην, [11]οὐκ ἤλιμ⟨μ⟩ε μέχρει ιβ' Ἁθύρ, καὶ ἔπεμ-[12]σάς μυ ἐπιστολὰς δυναμένου λίθον [13]σαλεῦσε, οὕτως ὑ λόγυ σου καικίνη-[14]κάν με. Αὐτῆν τῇ ὅρᾳ ἀντέγρα-[15]ψά συ, καὶ ἔδωκα τῇ ιβ' μετὰ τῶν [16]σῶν ἐπιστολῶν ἐσσφραγιζμένα. [17]Χωρεὶς δὲ τῶν σῶν λόγων κὲ γρα-[18]μ⟨μ⟩άτων «ὁ Κόλοβος δὲ πόρνην με πεπύ-[19]ηκεν», ἔλεγε δέ, ὅτι «ἔπεμσέ μυ φάσειν [20]ἡ γυνή σου, ὅτι 'αὐτὸς πέπρακεν τὸ ἁλυ-[21]σίδιον καὶ αὐτὸς κατέστακέ με ε[ἰ]ς τὸ [22]πλῦν'»· τούτους τοὺς λόγους λέγεις, ἥνα [23]μηκέτι [[φ]]πιστευθῶ μου τὴν ἐνβολ[ήν]; [24]Ἐδοῦ ποσάρκεις ἔπεμσα ἐπὶ σέ. Ἔρχῃ, [εἴτε] [25]οὐκ ἔρχῃ, δήλοσόν μυ.

*(In tergo:)* Ἀπόδος Εἰσιδόρᾳ π(αρὰ) Σερήνου.



Pap. Oxy. 528. 2ος αι. μ.Χ.

Pap. Oxy 939.
4ος αιώνας μ.Χ.

[1][Τῷ κυρίῳ μου καὶ ἀγαπητῷ [2]ἀδελφῷ Παπνουθίῳ Χρηστο-[3]φόρου Ἰουστῖνος χαίρειν.]

[4].[..............] [5]ἥ[ν ἔδει γρα]φῆν[α]ι π[ρὸς τὴν] [6]σὴν χρ[ηστότ]ηταν, κύριε μου [7]ἀγαπιτέ. Πιστεύομεν γὰρ [8]τὴν πολιτία[ν σ]ου ἐνν οὐρανῷ. [9]Ἐγῖθεν θεοροῦμέν σε, τὸν [10]δεσπότην, καὶ κενὸν ἄ[θ]ρω[πον]. [11]Ἵνα οὖν μὴ πολλὰ γράφω καὶ [12]φλυαρήσω, ἐν γὰρ [πο]λλῇ [13]λαλιᾷ οὐκ ἐκφεύξοντ[αι] [14](τ)ὴ(ν) ἁμαρτίη, παρακαλῶ [ο]ὖν, [15]δέσποτα, ἵνα μνημον[ε]ύῃς [16]μοι εἰς τὰς ἁγίας σου εὐχάς, ἵ-[17]να δυνηθῶμεν μέρος τῶν (ἁμ-)[18]αρτιῶν καθαρίσεως. Εἶς γάρ [19]ἶμει τῶν ἁμαρτουλῶν. Παρακα-[20]λῶ, καταξίωσον δέξεσθαι [21]τὸ μικρὸν ἐλέου διὰ τοῦ ἀδελ-[22]φοῦ ἡμῶν Μαγαρίου. Πολλὰ [23]προσαγωρεύ(ω) πάντες τοὺς ἀ-[24]δελφοὺς ἡμῶν ἐν Κ(υρί)ῳ. Ἐρρω-[25]μένον σε ἡ θί-[26]α πρόνοια φυλάξα[ι] [27]ἐπὶ

μέγιστον χρό-[28]νον ἐν Κ(υρί)ῳ Χ(ριστ)ῷ, [29]κύριε ἀγαπητ[έ].

*(In tergo:)* [30][Τῷ κυρίῳ] μου καὶ ἀγαπητῷ ἀδελφῷ Παπνουθίῳ Χρηστοφόρ[ου] παρ' Ἰουστίνου.